καὶ τάχα δ᾿ ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν᾿ ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισιν.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
σῶμα γὰρ ἐκ γαίης ἔχομεν κἄπειτα πρὸς αὖ γῆν
λυόμενοι κόνις ἐσμέν· ἀὴρ δ᾿ ἀνὰ πνεῦμα δέδεκται.
Πλουτῶν μὴ φείδου· μέμνησ᾿ ὅτι θνητὸς ὑπάρχεις·
οὐκ ἔνι εἰς Ἅιδην ὄλβον καὶ χρήματ᾿ ἄγεσθαι.
πάντες ἶσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὰ μέλαθρα δόμων αἰώνια καὶ πατρὶς Ἅιδης,
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ᾿ ἐπίκαιρον·
ψυχὴ δ᾿ ἀθάνατος καὶ ἀγήρως ζῆι διὰ παντός.